Benesevic, Cod. Sinai, I, σελ. 378-379.

# Θεοτόκης
## Νικηφόρος

Ὑπό Benesevic περιγράφοντος τόν ὑπ' ἀρ. 523 [1771] κώδ. (18αἰ.) ἐκδίδεται:

«Ἡ παροῦσα ἐπιστολή ὑπάρχει τοῦ πρώην Ἀστραχανίου κυρίου Νικηφόρου τοῦ Θεοτόκη, ἥν ἀπέστειλε τῶν ἐν Κιέβῳ ἀρχιμανδρίτῃ κυρ Ἰακώβῳ Σιναΐτῃ.

» Τῇ αἰδεσιμοτάτῃ καί προσφιλεστάτῃ κορυφῇ σου νοεράν εὐχετικήν περίπτυξιν.

» Τῇ ἀξιώσει σου εὔξας τό ἐν χερσίν μοι καταλιπών ἔργον, ὅλην ἀνέγνων τήν Παπομάστυχα, [ ] τήν τοῦ Κλερμίου τοῦ Γάλλου μεταφρασθεῖσαν ἐπιτομήν. Περιέχει δ' αὐτή καί τινα κἄν ἄλλοις κείμενα συγγράμμασιν ἀξιόλογα, ἐν πολλῇ ὅμως περιττολογίᾳ καί ταυτολογίᾳ ἄχρις

./.

Ακαδημία Αθηνών / Academy of Athens

ἀηδίας, ἵνα μὴ καὶ ναυτίας εἴπω, πάθει σφοδρῷ καὶ φορᾷ δρυμεία, ἐκπεφρασμένα, μὴ οἰκοδομοῦντα καταργοῦντα δὲ μᾶλλον καὶ ἐνοχλοῦντα τὸν ἀναγινώσκοντα. Οὐ γὰρ καταφοραὶ καὶ ὕβρεις εὐπόρως ἐπαναλαμβανόμεναι, ἀλλ' αἱ ἀποδείξεις, καὶ αἱ τῆς ἀληθείας ἐκθέσεις τῇ ἀληθείᾳ τὴν ἰσχὺν κατασκευάζουσι καὶ πείθουσι τὸν νοῦν ἀποχρώντως. Οὐ μέντοι διὰ ταῦτα τύπου μὴ ἀξίαν οἶμαι ἔγωγε τὴν βίβλον τὰ ἐλαττώματα, ἀλλὰ δι' ὅσα ἐφεξῆς καταλέγω:-

» α) οὐκ ὀλίγα περιέχει ἀλλόκοτα καὶ ξένα τοῦ ὀρθοδόξου φρονήματα.

» Ταῦτα ἐν Μόσχᾳ. ἔτει 1794 Αὐγούστου 13

» Ἡ τοῦ φίλου καὶ εὐχέτου γνωστὴ σοι χείρ.»

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ